καλοῦντες· καὶ πάλαι γ᾽ ὡς ἔοικεν εὔχοντο, τοῦ οἴνου
πρὶν ἢ πιεῖν ἀποσπένδοντες, ἀβλαβῆ καὶ σωτήριον αὐτοῖς
τοῦ φαρμάκου τὴν χρῆσιν γενέσθαι. παρ᾽ ἡμῖν δ᾽ ὁ μὲν
μὴν καλεῖται Προστατήριος, ἕκτῃ δ᾽ ἱσταμένου νομίζεται
θύσαντας Ἀγαθῷ Δαίμονι γεύεσθαι τοῦ οἴνου μετὰ
ζέφυρον· οὗτος γὰρ μάλιστα τῶν ἀνέμων ἐξίστησιν καὶ
κινεῖ τὸν οἶνον, καὶ ὁ τοῦτον διαφυγὼν ἤδη δοκεῖ παρα-
μένειν βέβαιος. ἔθυσεν οὖν ὁ πατὴρ ὥσπερ εἰώθει τὴν
θυσίαν, καὶ μετὰ τὸ δεῖπνον, ἐπαινουμένου τοῦ οἴνου,
τοῖς φιλοσοφοῦσι μειρακίοις μεθ᾽ ἡμῶν προὔβαλεν ζητεῖν F
λόγον, ὡς τὸ γλεῦκος ἥκιστα μεθύσκει. τοῖς μὲν οὖν πολ-
λοῖς παράδοξον ἐφάνη καὶ ἄπιστον· ὁ δ᾽ Ἁγίας ἔφη τὸ
γλυκὺ πανταχοῦ προσίστασθαι καὶ πλήσμιον εἶναι· διὸ
καὶ γλεύκους οὐκ ἄν τινα πιεῖν ῥᾳδίως ὅσον εἰς μέθην
ἱκανόν ἐστιν· ἀπαγορεύειν γὰρ ἀηδίᾳ τὴν ὄρεξιν ἄχρι τοῦ
μὴ διψῆν προελθοῦσαν. ὅτι δὲ τοῦ γλυκέος διαφέρει τὸ
ἡδὺ καὶ τὸν ποιητὴν ἐπιστάμενον λέγειν | (υ 69)

‘τυρῷ καὶ μέλιτι γλυκερῷ καὶ ἡδέι οἴνῳ·’ 656

τὸν γὰρ οἶνον ἐν ἀρχῇ μὲν εἶναι γλυκύν, γίνεσθαι δ᾽ ἡδὺν
ὅταν εἰς τὸ αὐστηρὸν τῇ πέψει μεταβάλῃ παλαιούμενος.

2. Ἀρισταίνετος δ᾽ ὁ Νικαεὺς ἔν τισιν † ἐνίοις
γράμμασιν ἀνεγνωκὼς ἔφη μνημονεύειν, ὅτι γλεῦκος μιχ-
θὲν οἴνῳ παύει μέθην· τῶν δ᾽ ἰατρῶν τινας λέγει τοὺς
πλέον πιόντας κελεύειν ⟨ἐμεῖν⟩, εἶθ᾽, ὅταν μέλλωσι καθ-